καὶ ζησόμεθα ἐναντίον αὐτοῦ καὶ γνωσόμεθα. ἐμβέβληται μὲν γὰρ εἰς τὸν τάφον, ὡς εἰς λάκκον ἱερεμίας· ἰωσήφ τε καὶ δανιήλ· ἀλλ᾽ ὥσπερ ἐκεῖνοι ζῶντες ἀνήχθησαν, οὕτω καὶ ὁ κ(ύριο)ς ζῶν ἀναβήσεται. οὐχ ἧττον δὲ φιλοπονώτερον πορίσασθαι ἔστι τὰ κατὰ τὸν δανιὴλ ὅτι τῆς τοῦ κ(υρίο)υ ταφῆς ἐναργεστάτην εἰκόνα προβάλλονται. ἐζήτουν τακτικοὶ καὶ σατράπαι πρόφασιν εὑρέσθαι κατὰ τοῦ δανιὴλ βασκαίνοντες ὅτι περισσὸν ἐν αὐτῷ πν(εῦμ)α ἦν· ἐζήτουν καὶ κατὰ τοῦ ἰ(ησο)ῦ φαρισαῖοι καὶ γραμματεῖς καὶ τὸ ἱερατικὸν ἔθνος, ὅπως αὐτὸν παραδώσωσι· τῆς περιττῆς σοφίας καὶ τῶν καινῶν θαυμάτων διαφθονούμενοι αὐτῷ. καὶ δὴ ὥσπερ τὸν δανιὴλ οἷα βασιλικὸν παραλύοντα δόγμα ἤγαγον καὶ ἐνέβαλον εἰς τὸν λάκκον τῶν λεόντων, οὕτω καὶ τὸν ἐμμανουὴλ ὡς πείθοντα μὴ δεῖ δοῦναι καίσαρι κῆνσον, ἐνέβαλον εἰς τὸν τάφον. ἄλλον ἢ λάκκον λεόντων ᾅδου καὶ θανάτου φημί. καὶ τὸ χαριέστατον ἢ τῆς εἰκόνος. καὶ τῇ ἀληθείᾳ ἐμφερέστατον, ἤνεγκαν φησὶ λίθον καὶ ἐπέθηκαν ἐπὶ τὸ στόμα τοῦ λάκκου. καὶ ἐσφραγίσατο ὁ βασιλεὺς ἐν τῷ δακτυλίῳ αὐτοῦ. καὶ ἐν τῷ δακτυλίῳ τῶν μεγιστάνων αὐτοῦ, ὅπως μὴ ἀλλοιωθῇ πρᾶγμα ἐν τῷ δανιήλ. ὥσπερ ἄρα καὶ νῦν ἠσφαλίσαντο τὸν τάφον σφραγίσαντες τὸν λίθον μετὰ τῆς κουστωδίας. ὅπως μὴ ἐλθόντες νυκτὸς οἱ μαθηταὶ κλέψωσιν αὐτόν. οὕτω καὶ ἐν οἷς πέπονθε δανιήλ, τὰ τῆς δεσποτικῆς ταφῆς ἐναργῶς εἰκονίζεται. καὶ οὐ τὰ τῆς ταφῆς μόνον, ἀλλ᾽ ἤδη καὶ τὰ τῆς ἀναστάσεως. ἀνήνεγκαν γὰρ τὸν δανιὴλ ἐκ τοῦ λάκκου, καὶ πᾶσα φησὶ διαφθορὰ οὐχ εὑρέθη ἐν αὐτῷ. ὡς καὶ ὁ δεσπότης χ(ριστὸ)ς ἀνῆλθεν ἐκ τοῦ τάφου ζῶν καὶ καθαρῶς ἀδιάφθορος. οἱ μὲν οὖν διαβαλόντες, ὡς εἰς τὸν λάκκον ἐκεῖ, οὕτως ὧδε ζῶντες εἰς ᾅδου κατέδυσαν. δῶ

http://digital.slub-dresden.de/ppn345490649/28